# 1. Περὶ ταβουλλαρίων

1.1. Ὁ μέλλων προχειρισθῆναι ταβουλλάριος ὀφείλει ψήφῳ καὶ διαγνώσει τοῦ τε πριμμικηρίου καὶ τῶν σὺν αὐτῷ ταβουλλαρίων προχειρίζεσθαι, ὡς ἂν γνῶσιν καὶ νόμων εἴδησιν ἔχῃ καὶ χειρὸς γραφῇ τῶν λοιπῶν προτερεύῃ καὶ μὴ στωμύλος ᾖ αὐθάδης ᾖ βίου διεφθαρμένου τυγχάνῃ, ἀλλὰ μᾶλλον σεμνὸς τὸ ἦθος καὶ τὴν φρόνησιν ἀκέραιος, λόγιός τε καὶ συνετὸς καὶ περὶ τὴν λέξιν εὔστροφος καὶ περὶ τὸν λόγον εὐάρμοστος, τοῦ μὴ ῥᾷστα ὧδε κἀκεῖσε περιφέρεσθαι εἴς τε τὰς τῶν φαλσευμάτων γραφὰς καὶ τὰς τῶν δελεασμάτων παραγραφάς. καὶ εἴ γέ ποτε τοιοῦτόν τις παρὰ τὸν νόμον καὶ τὰ συμβιβασθέντα καὶ γραφέντα καὶ ὁρισθέντα εὑρεθείη διαπραττόμενος, ὑπ' εὐθύνην ἔσεσθαι τοὺς αὐτὸν μαρτυρήσαντας.

1.2. Ὁ προχειρισθησόμενος ὀφείλει ἐπὶ στόματος ἔχειν τοὺς τεσσαράκοντα τίτλους τοῦ ἐγχειριδίου νόμου καὶ τῶν ἑξήκοντα βιβλίων τὴν γνῶσιν, παιδευθῆναι δὲ καὶ τὴν ἐγκύκλιον παίδευσιν, ὡς ἂν μὴ διαμαρτάνῃ ἐν ταῖς ἐκδόσεσιν, ὀλισθαίνῃ δὲ καὶ περὶ τὴν λέξιν· ἔχειν δὲ καὶ τὸν χρόνον πληρέστατον τοῦ διατρανοῦσθαι καὶ τῷ νοῒ καὶ τῷ σώματι.

[Koder, σ. 74]

Χειρὸς δὲ γραφῇ ἐκτυπούτω ἐν τῷ συλλόγῳ τοῦ μή τι τῶν ἀδοκήτων διαπράττεσθαι. εἰ δὲ φωραθείη, ἐκπιπτέτω τοῦ βαθμοῦ.

1.3. Δεῖ δὲ προχειρίζεσθαι τοῦτον οὑτωσί· μετὰ τὴν διαμαρτυρίαν καὶ τὴν ἔρευναν ἐμφανίζεσθαι μετὰ τοῦ συλλόγου τῶν ταβουλλαρίων καὶ τοῦ πριμμικηρίου τῷ ἐνδοξοτάτῳ ἐπάρχῳ τῆς πόλεως, ἐφεστρίδα ἠμφιεσμένον, ἐπομνυομένων ἐκείνων εἰς Θεὸν καὶ τὰς σωτηρίας τῶν βασιλέων τοῦ μὴ διά τινα χάριν ἢ παράκλησιν ἢ συγγένειαν ἢ φιλίαν τοῦτον τῷ βαθμῷ ἐντάττεσθαι, ἀλλὰ δι' ἀρετὴν καὶ γνῶσιν καὶ σύνεσιν καὶ τὸ ἱκανὸν εἶναι ἐν πᾶσι. καὶ μετὰ τὴν τῶν ὅρκων βεβαίωσιν σφραγῖδι τοῦτον προχειρίζεσθαι ἐν τῷ ἐπαρχικῷ σεκρέτῳ παρὰ τοῦ τὴν ἡγεμονίαν ἔχοντος· εἶθ' οὕτως ἐντάττεσθαι τῷ συλλόγῳ καὶ συναριθμεῖσθαι τοῖς ταβουλλαρίοις.

Ἔπειτα ἐν ναῷ Κυρίου, ἐν ᾧ πλησίον τὴν κατοίκησιν ἔχει, ἀφικνεῖσθαι πάντων τῶν ταβουλλαρίων ἐφεστρίδας ἠμφιεσμένων, καὶ τελεῖσθαι μετ' εὐχῆς τοῦ ἱερέως τὴν ἐφεστρίδα ἀποβαλλόμενον καὶ λευκὸν φελόνιον ἐνδιδυσκόμενον, καὶ προπέμπεσθαι παρὰ τῷ ταβουλλαρίων πάντων τὰς ἑαυτῶν ἐφεστρίδας ἠμφιεσμένων, αὐτοῦ δὲ τοῦ πριμμικηρίου θυμιατήριον κατέχοντος καὶ πρὸς αὐτὸν τὴν εὐωδίαν ἐκπέμποντος, ἐν ταῖς χερσὶ δηλαδὴ τὴν βίβλον τοῦ προχειρισθέντος ἐπιφερομένου, οὕτω κατευθύνεσθαι τὰς ὁδοὺς αὐτοῦ διὰ τοῦ θυμιατηρίου ἐνσημαινομένου ὡς θυμίαμα ἐνώπιον Κυρίου· καὶ οὕτως ἐνδόξως ἀπιέναι ἐν τῇ καθέδρᾳ ἐν ᾗ ἐκληρώθη, εἶτα οἴκοι ἐπαναστρέφειν μετὰ

[Koder, σσ. 74-76]

τῆς αὐτοῦ δόξης, συμποσιάζειν τε τηνικαῦτα μετὰ τῶν συμπαρόντων καὶ εὐφραίνεσθαι.

1.4. Ἐκ τῶν ταβουλλαρίων ὁ ἀπολειφθησόμενος ἐν βασιλικῷ προκένσῳ ἢ Ἱπποδρόμῳ ἢ συλλόγῳ ἢ προσκλήσει τοῦ ἐνδοξοτάτου ἐπάρχου εἴτε ἐν οἱᾳδήποτε ἄλλῃ συνάξει, ὁ τοιοῦτος παρεχέτω τοῖς ἐπαρχικοῖς κεράτια τέσσαρα καὶ τοῖς ἐν τῷ συλλόγῳ ὁμοίως. εἰ δὲ αἰτία εὔλογος καὶ φανερὰ ἀναφανείη τῆς αὐτοῦ ἀπουσίας ἄνευ κέρδους, ἐκ προνοίας τοῦ πριμμικηρίου ἔστω ἀνεύθυνος.

1.5. Ὁ προσκληθεὶς ταβουλλάριος παρὰ πριμμικηρίου δι᾽ ἀναγκαίαν χρείαν καὶ ἅπαξ καὶ δὶς <καὶ τρὶς> ὑστερήσας παρεχέτω ἐν μὲν τῷ πρώτῳ κεράτια δύο, ἐν δὲ τῷ δευτέρῳ κεράτια τέσσαρα, ἐν δὲ τῷ τρίτῳ κεράτια ἕξ. εἰ δὲ ἐξ αὐθαδείας καὶ καταφρονήσεως τοῦτο ποιεῖ, διὰ παιδείας παρὰ τοῦ ἐπάρχου σωφρονιζέσθω.

1.6. Εἰ προσκληθείη ταβουλλάριος πρὸς τὸ ἐκθέσθαι χαρτίου γραφήν, προσκληθῇ δὲ μετὰ ταῦτα καὶ ἕτερος, ἀμφότεροι ταῦτα ποιείτωσαν καὶ τὸν μισθὸν ἐπ᾽ ἴσης διαμεριζέσθωσαν.

Εἰ δὲ αὐτομόλως τὶς παραγένηται, μὴ μόνον ἀμισθὶ ἐκδιωκέσθω, ἀλλὰ καὶ διὰ παιδείας σωφρονιζέσθω. εἰ δὲ τελουμένων τῶν ἐγγράφων θάτερος ἰδιορρύθμως ὑπαναχωρῆσαι θελήσειε, μηδὲν ἐκ τοῦ μισθοῦ λαμβανέτω.

[Koder, σσ. 76-78]

1.7. Ὅστις ἂν ταβουλλάριος προσκληθῇ ἐν συμβολαίου ἐργασίᾳ καὶ διά τινα εὔλογον αἰτίαν ὑπαναχωρῆσαι θελήσειε καὶ ἕτερον προσκαλέσηται, ὁ προσκληθεὶς τὸ δίμοιρον τοῦ μισθοῦ λήψεται, τὸ δὲ τρίτον ὁ πρώτως προσκληθείς.

1.8. Ἐὰν προσκληθῇ ταβουλλάριος καὶ σημειώσηται τὴν ὑπόθεσιν, ἔπειτα δὲ καὶ ἕτερος προσκληθείη καὶ οὗτος σημειωσάμενος τὸ ἔργον τελέσῃ, εἰ μὲν ἠγνόει προσημειωθῆναι παρ' ἑτέρου, τέλειον λαμβανέτω τὸν μισθόν, εἰ δὲ ἐν γνώσει ὑπεισῆλθε, τὸ τρίτον ἐχέτω, τὸ δὲ δίμοιρον ὁ πρῶτος λήψεται· εἰ δὲ δύο προσκληθῶσιν —ὁ ἔσχατος ὑποτασσόμενος τῷ προβαθμίῳ— ἐπ' ἴσης τὸν μισθὸν ἐχέτωσαν.

1.9. Εἰ ἀφίκοιτο ταβουλλάριος πρὸς ἑτέρου καθέδραν καὶ οὐ προσυπαντήσει τούτῳ ὁ ἕτερος ἐντίμως ἢ ἐν τραπέζῃ οὐ κατὰ βαθμὸν ἱδρυνθήσεται ἢ ὑβριστικῶς τις φωραθείη στόμα πρὸς ἕτερον διάρας, ὁ τοιοῦτος ζημιωθήσεται κεράτια ἕξ. εἰ δὲ καὶ χεῖρας ἐπιβάλλῃ, παρὰ τοῦ ἐπάρχου σωφρονιζέσθω.

1.10. Εἰ διά τινα γραφὴν ἢ μισθοῦ λῆψιν ἀμφισβήτησις πρὸς ἑτέρους συμβολαιογράφους γένηται, εἰ μὲν εὐτελής ἐστιν, ὁ πριμμικήριος διαγινωσκέτω, εἰ δὲ τῶν μειζόνων, ὁ τῆς πόλεως ἔπαρχος εἰσαγωγῇ τοῦ πριμμικηρίου· καὶ ὁ καταδικασθείς, εἰ οὐκ ἐπειθάρχησε τῇ καταδίκῃ τοῦ πριμμικηρίου, παρεχέτω νομίσματα τρία.

[Koder, σ. 78]

1.11. Ὁ ταβουλλάριος ἀδικούμενος παρ' ἑτέρου πρότερον τῷ πριμμικηρίῳ ἐγκαλείτω, ἔπειτα ἐν μείζονι τοῦ ἐπάρχου κριτηρίῳ. εἰ δὲ τοῦτο οὐ ποιήσει, ἐκπιπτέτω τῆς αὐτοῦ δίκης.

1.12. Ὁ ταβουλλάριος ὀφείλει ἐνώπιον τῶν μαρτύρων καὶ τῶν προσκαλεσαμένων αὐθωρὸν καὶ τὴν κόμπλαν ἐπιτιθέναι κατὰ τὸν νόμον καὶ τὸ συμβόλαιον ἐκπληροῦν, ὡς ἂν βέβαια εἴη τὰ πραττόμενα. ὁ δὲ μὴ τοῦτο ποιῶν διὰ δαρμοῦ καὶ κουρᾶς παρὰ τοῦ ἐπάρχου σωφρονιζέσθω εὑρισκόμενος.

1.13. Ὁ παιδοδιδάσκαλος νομικὸς καὶ ὁ διδάσκαλος ἐν νομῇ ἀρχαίᾳ καθεζέσθω κελεύσει τοῦ ἐνδοξοτάτου ἐπάρχου, πρότερον ψηφιζόμενος παρὰ τοῦ συλλόγου τῶν ταβουλλαρίων καὶ τοῦ πριμμικηρίου καὶ τῶν παιδοδιδασκάλων νομικῶν καὶ διδασκάλων, παρέχων ὑπὲρ συνηθείας ὁ μὲν νομικὸς τῷ πριμμικηρίῳ νομίσματα δύο καὶ τῷ συλλόγῳ νομίσματα τέσσαρα, ὁ δὲ διδάσκαλος τῷ πριμμικηρίῳ νόμισμα ἓν καὶ τῷ συλλόγῳ νομίσματα δύο.

1.14. Ὀφείλει δὲ ὁ προκριθεὶς ταβουλλάριος παρέχειν ὑπὲρ συνηθείας τῷ μὲν πριμμικηρίῳ νομίσματα τρία, τοῖς δὲ λοιποῖς ταβουλλαρίοις ἀνὰ νόμισμα ἕν, ὑπὲρ δὲ τραπέζης νομίσματα ἕξ.

1.15. Ὁ παιδοδιδάσκαλος νομικὸς ἐὰν βουληθῇ συμβόλαια γράψαι ἄνευ προστάξεως τοῦ ἐπάρχου καὶ ψήφου καὶ δοκιμασίας τῶν συμβολαιογράφων, τυπτόμενος ἐκδιωκέσθω τῆς αὐτοῦ νομῆς.

[Koder, σ. 80]

1.16. Οἱ νομικοὶ {καὶ} παιδοδιδάσκαλοι μὴ δεχέσθωσαν ἀφ' ἑτέρας σχολῆς παῖδα, εἰ μὴ ἐκπληρώσῃ τὸν μισθὸν τῆς μαθήσεως. εἰ δὲ ἀμελούμενον οἱ γονεῖς ἀναλάβωνται, εἰδήσει τοῦ πριμμικηρίου γινέσθω.

1.17. Οἱ γραφεῖς τῶν ταβουλλαρίων παρὰ γνώμην τῶν κυρίων αὐτῶν μηδὲν πραττέτωσαν. εἰ δὲ φωραθῶσι, ζημιούμενοι ἐκδιωκέσθωσαν μὴ παρ' ἑτέρου δεχόμενοι.

1.18. Οὐκ ἔξεστι τοῖς γραφεῦσιν ἐν τοῖς συμβολαίοις τὴν κόμπλαν ποιεῖν ἀλλὰ τοῖς ταβουλλαρίοις.

1.19. Ὁ ταβουλλάριος παρεχέτω τῷ γραφεῖ αὐτοῦ ἐν τῷ νομίσματι τοῦ μισθοῦ κεράτια δύο.

1.20. Τὸν κατὰ συνήθειαν ἔχοντα ταβουλλάριον ἔν τινι εἴτε οἴκῳ εὐαγεῖ ἢ ἀρχοντικῷ εἴτε μοναστηρίῳ ἢ γηροκομείῳ εἰ πειραθείη ἕτερος ταβουλλάριος ἀπώσασθαι ἄνευ αἰτίας, ὁ τοιοῦτος γινωσκόμενος παρεχέτω νομίσματα δέκα.

1.21. Εἰ ἀδυνάτως ἔχει ὁ πριμμικήριος διὰ νόσον ἢ γῆρας ἢ πάρεσιν τὰ τοῦ πριμμικηράτου αὐτοῦ ἐκτελεῖν, αὐτὸς μὲν σχολαζέτω λαμβάνων τὰ ὀφειλόμενα αὐτῷ ὡσανεὶ ἀπὸ πριμμικηρίων ὤν, ὁ δὲ μετ' αὐτὸν τῷ τούτου βαθμῷ ἐνταττόμενος ἀντ' αὐτοῦ διοικείτω.

[Koder, σσ. 80-82]

1.22. Ὅταν πριμμικήριος ὀφείλῃ προβληθῆναι, ὁ κατὰ τὸν βαθμὸν ἐρχόμενος παρὰ πάσης τῆς ὁμηγύρεως μαρτυρούμενος ἄξιος εἶναι τοῦ τοιούτου βαθμοῦ, ὁ τοιοῦτος παρὰ τοῦ ἐπάρχου προβαλλέσθω. εἰ δὲ ἀνάξιος τοῖς τρόποις εὑρεθείη, ὁ μετ᾽ ἐκεῖνον ἢ ὁ μετ᾽ αὐτὸν εἰς τὸν βαθμὸν προτιμάσθω, διὰ τοῦτο φιλοτιμούμενος τοὺς ὑπ᾽ αὐτὸν ταβουλλαρίους.

1.23. Οὐκ ὀφείλει ὁ σύμπας ἀριθμὸς τῶν συμβολαιογράφων ὑπερβαίνειν τὸν εἰκοστὸν τέταρτον ἀριθμόν, μηδὲ ὁ κατὰ τὴν ἡμέραν ἔπαρχος ἐξουσίαν ἐχέτω πλείω τοῦ ἀριθμοῦ τούτου ἐντάττειν προφάσει τοῦ ὑποκαθηγητὰς δίδοσθαι. εἰ δὲ τοῦτο φωραθείη ποιῶν, ἐκπιπτέτω τῆς ζώνης αὐτοῦ καὶ τῆς ἀξίας· ἀλλ᾽ ὅσαι στατίονες τοσοῦτοι καὶ συμβολαιογράφοι.

1.24. Μηδεὶς ταβουλλάριος προσλαμβανέτω γραφέα, εἰ μὴ τοῦτον ἐμφανίσῃ τῷ συλλόγῳ καὶ τῷ πριμμικηρίῳ μαρτυρούμενον ἄξιον εἶναι· ἐχέτω δὲ γραφέα ἕνα.

1.25. Ὀφείλουσιν οἱ ταβουλλάριοι λαμβάνειν ὑπὲρ μισθοῦ ἐν τῷ συμβολαίῳ, εἰ μὲν ἑκατὸν νομισμάτων τυγχάνει ἡ ὑπόθεσις τῆς γραφῆς, ὁπόση ἂν ᾖ, κεράτια δώδεκα, εἰ δὲ ἐπέκεινα, νόμισμα ἕν, εἰ δὲ πλέον <τῶν ἐννέα λιτρῶν>, νομίσματα δύο· μὴ περαιτέρω δὲ τὸν μισθὸν ἐπεκτείνεσθαι μηδὲ ἐν προσώπῳ τὴν διαφορὰν γίνεσθαι ἐν

[Koder, σ. 82]

γραφαῖς ἤγουν πράσεσι καὶ προικῴοις συμβολαίοις καὶ διαθήκαις καὶ συμβιβάσεσιν.

Ὁ δὲ πλέον ἐπιζητῶν φωραθείς, ὁ τοιοῦτος καὶ τῆς καθέδρας ἐκδιωκέσθω καὶ διὰ παιδείας <παρὰ> τοῦ ἐπάρχου σωφρονιζέσθω. εἰ δὲ ἄνευ αἰτήσεως ἢ ζητήσεως τιμηθείη τις παρά τινος κατὰ προαίρεσιν, λαμβανέτω μὴ εὐθυνόμενος.

Τῷ βάρει γὰρ τῶν μισθῶν οἱ προσκαλούμενοι ἀποκναίοντες τὰ ἑαυτῶν συμβόλαια ἐν τοῖς συμβολαιογράφοις καταλιμπάνουσι, καὶ τοῦ χρόνου διϊππεύοντος καὶ ἐν λήθῃ τῶν τοιούτων γινομένων ἔριδες καὶ διαμάχαι τοῖς πολιτευομένοις ἐγγίνονται.

1.26. Ὅταν ταβουλλάριος τελευτήσῃ, ὀφείλουσι πάντες συναθροίζεσθαι μετὰ τῶν ἐφεστρίδων αὐτῶν καὶ μέχρι τοῦ τάφου τοῦτον παραπέμπειν, ὡς ἂν ἔνδοξος καὶ ἡ κηδεία κατὰ τὴν προχείρησιν εἴη. ὁ δὲ ἀπολιμπανόμενος ἄνευ εὐλόγου αἰτίας κατὰ χάριν κέρδους παρεχέτω κεράτια ἕξ.

[Koder, σσ. 82-84]